τῷ εἰλικρινεῖ τῆς διαθέσεως, τῷ καθαρῷ καὶ ἀδόλῳ τῆς γνώμης καὶ τῇ τῆς δόξης κοινωνίᾳ, διεγείροντα ἡμῶν τὴν καταπεπτωκυῖαν ψυχήν. Οὐκ ἔστι δὲ ἐν λόγοις ὁ ἀγών, ἀλλ' ἐν πράγμασιν, οὐδὲ ῥητῶν καὶ ἀποδείξεων ὁ καιρός (πῶς γὰρ ἐν οὕτω διεφθαρμένοις κριταῖς;)· ἀλλὰ δεῖ τοὺς ἀγαπῶντας τὸν Θεὸν ἔργοις αὐτοῖς γενναίως παρατετάχθαι καὶ πάντα κίνδυνον ἑτοίμους εἶναι παθεῖν ὑπὲρ τῆς εὐσεβείας καὶ τοῦ μὴ τῇ κοινωνίᾳ χρανθῆναι τῶν ἀσεβῶν. Ὅθεν οὐδὲ τὸ ΣΥΝΤΑΓΜΑ τῆς σῆς ἁγιότητος ἐπιδοῦναι τῷ κρατοῦντι συμφέρον μοι ἔδοξεν, οὔτ' ἀσφαλὲς ὅλως, εἰς οὐδὲν ἄλλο συντελέσαι δυνάμενον ἐν τῷ παρόντι καιρῷ, πλὴν τοῦ χλεύην καὶ ἐμπαιγμὸν κινῆσαι παρὰ τοῖς ἀσόφοις σοφοῖς, καὶ τοῖς εἰκῇ φερομένοις ὑπὸ τοῦ ἀτάκτου καὶ σκοτεινοῦ πνεύματος. Νῦν γὰρ ἐπληρώθη τὸ γεγραμμένον διὰ τὰς ἁμαρτίας ἡμῶν, Δώσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν· ἀλλὰ μόνος ὁ πάντα δυνάμενος διορθώσειε τὴν Ἐκκλησίαν αὐτοῦ, καὶ κατευνάσειε τὴν παροῦσαν ζάλην ὑπὸ τῶν σῶν εὐχῶν δυσωπούμενος, αἵτινες εἴησαν ἀεὶ μεθ' ἡμῶν. Ὁ Ἐφέσου καὶ πάσης Ἀσίας Μάρκος" (α).

## *Σύνοδος ἐν Κωνσταντινουπόλει.*

Κατὰ τὸ ἔτος 1440 συνελθόντες οἱ ἐν Κωνσταντινουπόλει ἀρχιερεῖς καὶ πολλοὶ κληρικοί, ἐξ ὧν πολλοὶ ἐκ τῶν παρουσιασάντων ἐν τῇ Φλωρεντινῇ συνόδῳ, ἔγραψαν Ἀπολογίαν καὶ ἀναφορὰν πρὸς τὸν βασιλέα περὶ τῆς ἐν Φλωρεντίᾳ συνόδου. Ἐξεδόθη ἐν τέλει τῆς Ἀντιρρήσεως περὶ τῆς ἀρχῆς τοῦ Πάπα τοῦ Νεκταρίου Ἱεροσολύμων. Τῶν αὐτῶν ἐκτενεστέρα Ἀπολογία πρὸς τὸν βασιλέα, Ἰωάννην ἐξεδόθη ἐν τῷ Τόμῳ τῆς Καταλλαγῆς. Ἐν ἀμφοτέραις ταῖς Ἀπολογίαις λέγουσι τῷ βασιλεῖ ὅτι οὐκ ἀποδέχονται τὰ ὁρισθέντα ἐν τῇ Φλωρεντινῇ συνόδῳ, διότι ἐκ τῶν ἀπειλῶν καὶ

(α) Χειρόγρ. Μονάχου ὑπ' ἀριθμὸν 256 σελ. 155.